12 εἰμι; ὅτι χρηστὸς καὶ ἀγαπώμενος ἤμην ἐν τῇ ἐξουσίᾳ μου. [12]νῦν
δὲ μιμνήσκομαι τῶν κακῶν, ὧν ἐποίησα ἐν Ιερουσαλημ καὶ ἔλαβον
πάντα τὰ σκεύη τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ τὰ ἐν αὐτῇ καὶ ἐξαπ-
13 έστειλα ἐξᾶραι τοὺς κατοικοῦντας Ιουδα διὰ κενῆς. [13]ἔγνων ὅτι χάριν
τούτων εὗρέν με τὰ κακὰ ταῦτα· καὶ ἰδοὺ ἀπόλλυμαι λύπῃ με-
14 γάλῃ ἐν γῇ ἀλλοτρίᾳ. [14]καὶ ἐκάλεσεν Φίλιππον ἕνα τῶν φίλων
αὐτοῦ καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ·
15 [15]καὶ ἔδωκεν αὐτῷ τὸ διάδημα καὶ τὴν στολὴν αὐτοῦ καὶ τὸν
δακτύλιον τοῦ ἀγαγεῖν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ καὶ ἐκθρέψαι
16 αὐτὸν τοῦ βασιλεύειν. [16]καὶ ἀπέθανεν ἐκεῖ Ἀντίοχος ὁ βασιλεὺς
17 ἔτους ἐνάτου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ. [17]καὶ ἐπέγνω
Λυσίας ὅτι τέθνηκεν ὁ βασιλεύς, καὶ κατέστησεν βασιλεύειν Ἀντί-
οχον τὸν υἱὸν αὐτοῦ, ὃν ἐξέθρεψεν νεώτερον, καὶ ἐκάλεσεν τὸ
ὄνομα αὐτοῦ Εὐπάτωρ.
18 [18]Καὶ οἱ ἐκ τῆς ἄκρας ἦσαν συγκλείοντες τὸν Ισραηλ κύκλῳ
τῶν ἁγίων καὶ ζητοῦντες κακὰ δι' ὅλου καὶ στήριγμα τοῖς ἔθνεσιν.
19 [19]καὶ ἐλογίσατο Ιουδας ἐξᾶραι αὐτοὺς καὶ ἐξεκκλησίασε πάντα τὸν
20 λαὸν τοῦ περικαθίσαι ἐπ' αὐτούς· [20]καὶ συνήχθησαν ἅμα καὶ
περιεκάθισαν ἐπ' αὐτὴν ἔτους πεντηκοστοῦ καὶ ἑκατοστοῦ, καὶ
21 ἐποίησεν βελοστάσεις καὶ μηχανάς. [21]καὶ ἐξῆλθον ἐξ αὐτῶν ἐκ τοῦ
συγκλεισμοῦ, καὶ ἐκολλήθησαν αὐτοῖς τινες τῶν ἀσεβῶν ἐξ Ισραηλ,
22 [22]καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα καὶ εἶπον Ἕως πότε οὐ ποι-
23 ήσῃ κρίσιν καὶ ἐκδικήσεις τοὺς ἀδελφοὺς ἡμῶν; [23]ἡμεῖς εὐδοκοῦ-
μεν δουλεύειν τῷ πατρί σου καὶ πορεύεσθαι τοῖς ὑπ' αὐτοῦ λεγο-
24 μένοις καὶ κατακολουθεῖν τοῖς προστάγμασιν αὐτοῦ. [24]καὶ περι-
εκάθηντο ἐπ' αὐτὴν οἱ υἱοὶ τοῦ λαοῦ ἡμῶν χάριν τούτου καὶ ἠλλο-
τριοῦντο ἀφ' ἡμῶν· πλὴν ὅσοι εὑρίσκοντο ἐξ ἡμῶν, ἐθανατοῦντο,
25 καὶ αἱ κληρονομίαι ἡμῶν διηρπάζοντο. [25]καὶ οὐκ ἐφ' ἡμᾶς μόνον
26 ἐξέτειναν χεῖρα, ἀλλὰ καὶ ἐπὶ πάντα τὰ ὅρια αὐτῶν· [26]καὶ ἰδοὺ
παρεμβεβλήκασι σήμερον ἐπὶ τὴν ἄκραν ἐν Ιερουσαλημ τοῦ κατα-
λαβέσθαι αὐτήν· καὶ τὸ ἁγίασμα καὶ τὴν Βαιθσουραν ὠχύρωσαν·
27 [27]καὶ ἐὰν μὴ προκαταλάβῃ αὐτοὺς διὰ τάχους, μείζονα τούτων
ποιήσουσιν, καὶ οὐ δυνήσῃ τοῦ κατασχεῖν αὐτῶν.

12 μιμνησκ.] μι > SA† | των κακων ων εποι.] ων εποι. κακων S† | εξαραι] pr. του A || 13 εγνων] + ουν S$^c$*L* | ευρον A || 15 βασιλευειν] pr. μη A† || 17 και 1$^0$ > S*† | αυτου 1$^0$] + αντ αυτου A || 20 init. — αυτην > A† | αυτην S*L*pau.] -τους rel. | εποιησεν] + επ αυτους AS$^c$pl. | βελοστασιας A†: item S† in 51 | και ult. > S*† || 21 αυτων] -του A† | fin. ιερουσαλημ S† || 22 ποιηση] -σεις AS$^c$ || 24 init. — λαου] οτι οι(A† ου) του λαου A omittens και ante ηλλοτρ. | αυτην] -τον S*† | ημων 2$^0$⌒3$^0$ S*pau. (S*† add. και ante εθανατ.) | εξ unus codex passim codici S cognatus et La] αφ rel. | διηρπαζ. > S*† || 26 βαιθσουραν] ν > S: cf. 4 61 | ω(A ο)χυρωσαν] -ρασ- S† || 27 προκαταλαβη] -βητε S*L* La: cf. 5 8 | αυτους] -την S**L*$^p$†